μος, ἡ μὲν ἔξωθεν καὶ νόμων . . . πλέον ἔχουσα τοῦ ἑκουσίου τὸ βεβιασμένον ὑπ' αἰσχύνης καὶ φόβων,

'πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα' (Soph. fr. 785),

διὰ χειρός ἐστιν ἀεὶ τοῖς συνοῦσιν· Ἔρωτι δ' ἐγκρατείας τοσοῦτον καὶ κόσμου καὶ πίστεως μέτεστιν, ὥστε, κἂν ἀκολάστου ποτὲ θίγῃ ψυχῆς, ἀπέστρεψε τῶν ἄλλων ἐραστῶν, ἐκκόψας δὲ τὸ θράσος καὶ κατακλάσας τὸ σοβαρὸν καὶ ἀνάγωγον, ἐμβαλὼν ⟨δ'⟩ αἰδῶ καὶ σιωπὴν καὶ ἡσυχίαν καὶ σχῆμα περιθεὶς κόσμιον, ἑνὸς ἐπήκοον ἐποίησεν.
F ἴστε δήπουθεν ἀκοῇ Λαΐδα τὴν ἀοίδιμον ἐκείνην καὶ πολυήρατον, ὡς ἐπέφλεγε πόθῳ τὴν Ἑλλάδα, μᾶλλον δὲ ταῖς δυσὶν ἦν περιμάχητος θαλάσσαις· ἐπεὶ δ' Ἔρως ἔθιγεν αὐτῆς Ἱππολόχου τοῦ Θεσσαλοῦ, τὸν 'ὕδατι χλωρῷ κατακλυζόμενον προλιποῦσ' Ἀκροκόρινθον' (Eur. fr. 1084) καὶ ἀποδρᾶσα τῶν ἄλλων ἐραστῶν κρύφα . . . μέγαν στρατὸν ᾤχετο κοσμίως· |
**768** ἐκεῖ δ' αὐτὴν αἱ γυναῖκες ὑπὸ φθόνου καὶ ζήλου διὰ τὸ κάλλος εἰς ἱερὸν Ἀφροδίτης προαγαγοῦσαι κατέλευσαν καὶ διέφθειραν· ὅθεν ὡς ἔοικεν ἔτι νῦν τὸ ἱερὸν 'Ἀφροδίτης ἀνδροφόνου' καλοῦσιν. ἴσμεν δὲ καὶ θεραπαινίδια δεσποτῶν φεύγοντα συνουσίας καὶ βασιλίδων ὑπερορῶντας ἰδιώτας, ὅταν Ἔρωτα δεσπότην ἐν ψυχῇ κτήσωνται· καθάπερ γὰρ ἐν Ῥώμῃ φασὶ τοῦ καλου⟨μένου⟩ δικτάτωρος ἀναγορευθέντος ἀποτίθεσθαι τὰς ἄλλας ἀρχὰς τοὺς ἔχοντας, οὕτως, οἷς ἂν Ἔρως κύριος ἐγγένηται, τῶν ἄλλων δεσποτῶν καὶ ἀρχόντων ἐλεύθεροι

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/392 UNIVERSITÄT LEIPZIG